## ΠΥΘΙΑΣ.

*Πρῶτον μὲν εὐχῆι τῆιδε πρεσβεύω θεῶν*
*τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν,*
*ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ᾽ ἕζετο*
*μαντεῖον, ὡς λόγος τις· ἐν δὲ τῶι τρίτωι*
*λάχει, θελούσης, οὐδὲ πρὸς βίαν τινός,*
*Τιτανὶς ἄλλη παῖς Χθονὸς καθέζετο*
*Φοίβη· δίδωσιν δ᾽ ἣ γενέθλιον δόσιν*
*Φοίβωι, τὸ Φοίβης δ᾽ ὄνομ᾽ ἔχει παρώνυμον.*
*λιπὼν δὲ λίμνην Δηλίαν τε χοιράδα,*
*κέλσας ἐπ᾽ ἀκτὰς ναυπόρους τὰς Παλλάδος,*
*ἐς τήνδε γαῖαν ἦλθε Παρνησοῦ θ᾽ ἕδρας.*

---

1 (in fine paginae v. 1—48 continentis; legebantur vulgo tamquam ad v. 47 adscripta; transp. Weckl.) *φαίνεται ἐπὶ σκηνῆς τὸ μαντεῖον, ἡ δὲ προφῆτις πρόσεισιν* (*πρόεισιν* M) *ἐπικλήσεις, ὡς ἔθος, τῶν θεῶν ποιησαμένη* (*-ομένη* M), *ἀπροόπτως τε ἰδοῦσα τὰς Ἐρινύας κύκλωι τοῦ Ὀρέστου καθευδούσας πάντα μηνύει τοῖς θεαταῖς, οὐχ ὡς διηγουμένη τὰ ὑπὸ τὴν σκηνήν· τοῦτο γὰρ νεωτερικὸν Εὐριπίδειον* (*ιον* M)*· ὑπὸ δὲ τῆς ἐκπλήξεως τὰ θορυβήσαντα αὐτὴν καταμηνύουσα φιλοτέχνως. τὰ δὲ πρῶτα εὐχαὶ καὶ ἐπικλήσεις θεῶν, ἵνα ἀπὸ τῶν εὐφημοτέρων ἄρξηται ἡ προφῆτις. οἰκονομικῶς δὲ οὐκ ἐν ἀρχῆι διώκεται Ορέστης, ἀλλὰ τοῦτο ἐν μέσωι τοῦ δράματος κατατάττει, ταμιευόμενος τὰ ἀκμαιότατα ἐν μέσωι. προτιμῶ.* 2 *Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα· διὸ καὶ ταρταρῶσαι αὐτὸν ἐζήτει ἡ Γῆ. Ἐπαφρόδιτος ἐν ὑπομνήματι Καλλιμάχου αἰτίων β' φησί· „Μελανθοῦς τῆς Δευκαλίλωνος καὶ Κηφισοῦ τοῦ ποταμοῦ γίνεται Μέλαινα τοὔνομα, Μελαίνης δὲ καὶ Ποσειδῶνος Δελφός, ἀφ᾽ οὗ οἱ Δελφοί“.* 3 *ἢ τῆς κοινῆς μητρὸς πάντων, ἢ τῆς Θέμιδος.* 5 *κλήρωι.* 7 *ἀντ(ὶ τοῦ) ὀπτήριον. θεασαμένη τὸν τῆς ἀδελφῆς* (richtig wäre *θυγατρὸς*) *ἑαυτῆς Λητοῦς παῖδα δέδωκε συγγενικὴν δόσιν.* 8 *ἀπόδειξις αὕτη τῆς δωρεᾶς οὐκ ἀχάριστος.* 9 *τὴν Κύνθον. διὰ δὲ τοῦ „χοιράδα“ σχεδὸν τὴν αἰτίαν φησὶ δι᾽ ἣν ἀπέλιπεν Ἀπόλλων, ἐκκλίνων τὸ εὐτελὲς τοῦ χωρίου. τὴν στρογγύλην* (näml. *λίμνην*). 10 *χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησιν ἐκεῖσε Ἀπόλλωνα κἀκεῖθεν τὴν παραπομπὴν* (Heyne für *περιπ.*) *αὐτῶι εἶναι. ὁ δὲ Πίνδ(αρος) ἐκ Τανάγρας τῆς Βοιωτίας.*

---

1 *προφῆτις* M f g. 9 *λιπών τε* M erst; desgl. *δ.λί . . τε.* 11 *εἰς* M. *παρνησσοῦσθ᾽* M, *-σούς θ᾽* f g (*παραν.* M erst): Robort.